## *ΝΟΜΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ*

Ἐνθυμεῖσθε δή, ὡς καλὸς ὁ νόμος, ὦ ἄνδρες, καὶ σύμ- 130
φορος οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἀνθρώποις.
ὁ γὰρ παρὰ τῶν πολιτῶν φόβος ἰσχυρὸς ὢν ἀναγκάσει
τοὺς πρὸς τοὺς πολεμίους κινδύνους ὑπομένειν· τίς γὰρ
ὁρῶν θανάτῳ ζημιούμενον τὸν προδότην, ἐν τοῖς κινδύνοις
ἐκλείψει τὴν πατρίδα; ἢ τίς παρὰ τὸ συμφέρον τῆς πόλεως
φιλοψυχήσει, εἰδὼς ὑποκειμένην αὐτῷ ⟨ταύτην⟩ τιμωρίαν;
οὐδεμίαν γὰρ ἄλλην δεῖ ζημίαν εἶναι τῆς δειλίας ἢ θάνα-
τον· εἰδότες γὰρ ὅτι δυοῖν κινδύνοιν ὑποκειμένοιν, ἀναγκαῖον
ἔσται θατέρου μετασχεῖν, πολὺ μᾶλλον αἱρήσονται τὸν πρὸς
τοὺς πολεμίους ἢ τὸν πρὸς τοὺς νόμους καὶ τοὺς πολίτας.

Τοσούτῳ δ' ἂν δικαιότερον οὗτος ἀποθάνοι τῶν ἐκ **33** 131
τῶν στρατοπέδων φευγόντων, ὅσον οἱ μὲν εἰς τὴν πόλιν
ἥκουσιν, ὡς ὑπὲρ ταύτης μαχούμενοι ἢ κοινῇ μετὰ τῶν
ἄλλων πολιτῶν συνατυχήσοντες, οὑτοσὶ δ' ἐκ τῆς πατρίδος
ἔφυγεν, ἰδίᾳ τὴν σωτηρίαν ποριζόμενος, οὐδ' ὑπὲρ τῆς ἰδίας
ἑστίας ἀμύνεσθαι τολμήσας, ἀλλὰ μόνος οὗτος τῶν πάν-
των ἀνθρώπων καὶ τὰ τῆς φύσεως οἰκεῖα καὶ ἀναγκαῖα
προδέδωκεν, ἃ καὶ τοῖς ἀλόγοις ζῴοις μέγιστα καὶ σπου-
δαιότατα διείληπται. τὰ γοῦν {ζῷα} πετεινὰ ἃ μάλιστα πέ- 132
φυκε πρὸς τάχος, ἔστιν ἰδεῖν ὑπὲρ τῆς αὑτῶν νεοττιᾶς ἐθέ-
λοντα ἀποθνῄσκειν· ὅθεν καὶ τῶν ποιητῶν τινες εἰρήκασιν·

οὐδ' ἀγρία γὰρ ὄρνις, ἣν πλάσῃ δόμον,
ἄλλην νεοσσοὺς ἠξίωσεν ἐντεκεῖν.